www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανών εἰς τὸν Ἅγιον Ἰωάννην τὸν Δαμασκηνόν

Ἦχος Δ΄

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# Ἕτερος εἰς τὸν Ἅγιον Ἰωάννην τὸν Δαμασκηνόν, οὗ ἡ ἀκροστιχίς, κατ᾽ Ἀλφάβητον, ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.», Ἦχος Δ΄.

*Ὠιδὴ Α΄ Ἀνοίξω τὸ στόμα μου.*

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ ὕμνοις τοῦ Πνεύματος, τὸν θεῖον ῥήτορα, ἀγαλλόμενος, τὸν μέγαν Ἰωάννην, γλῶσσαν τὴν μελίρρυτον, μέλψω καὶ ᾄσμασι.

Βημάτων προέκρινας, τῶν περιγείων μακάριε, πενίαν τοῦ Πνεύματος, τὴν πλουτοδότιδα, πραΰτητά τε, ἐπ᾽ ὤμων σου θεόφρον, χρηστὸν τοῦ Κυρίου σου, ζυγὸν ἀράμενος.

Γηθόμενος ἔδραμες, δαβιτικὴ ὥσπερ ἔλαφος, διψῶσα εἰς νάματα, πρὸς τὰ ζωήρρυτα, χαριτώνυμε, ἐξ ὧν τῆς Παντανάσσης, κελεύσει τὴν ἅπασαν, κτίσιν κατήρδευσας.

*Θεοτοκίον.*

Ἱλέῳ μοι Ἄχραντε, τῷ σῷ ἐπίβλεψον ὄμματι, καὶ πρόσχες πανεύσπλαγχνε, τῇ ταπεινώσει μου, καὶ τῇ γλώττῃ μου, τῇ χάριτί σου λόγον, παράσχου ὑμνῆσαί με, τὸν ὑμνολόγον τὸν σόν.

*Ὠιδὴ Γ΄ Τοὺς σοὺς ὑμνολόγους.*

Δαβὶδ ὁ θεόπνευστος φθεγξάτω, χορδαῖς ἀναμέλπων τὴν ᾠδήν, παναρμονίοις πάνσοφε, καὶ γὰρ ὡς φοῖνιξ ἤνθησας, ἐν ταῖς ἐρήμοις ὅσιε, σπόρον πληθύνας τῆς πίστεως.

Ἐκφάντωρ ἐδείχθης Ἰωάννη, λογίων τοῦ Πνεύματος σοφέ, ἀνοίξει τοῦ σοῦ στόματος, δι' ὧνπερ κατεφώτισας, ὡς ἄστρον φαεινότατον, τῶν χριστωνύμων συστήματα.

Ζωῆς τῆς ἀμείνω θεοφόρε, τῷ ἔρωτι ὄντως ἐκκαυθείς, τῶν γεηρῶν ἀπέστησας, σαὐτὸν καὶ τῆς ἀσκήσεως, πόνοις καὶ τοῖς παλαίσμασι, προσῆλθες χαίρων πανόλβιε.

*Θεοτοκίον.*

Λαμπὰς φωτοφόρος Θεοτόκε, ὡράθης ἐν μήτρᾳ σου τὸ πῦρ, Παρθένε τῆς Θεότητος, ἀφλέκτως εἰσοικήσασα, δι' οὗ ἀρὰν κατέφλεξας, τῶν πρωτοπλάστων Πανύμνητε.

*Ὠιδὴ Δ΄ Τὴν ἀνεξιχνίαστον.*

Ἡ ἀνεξιχνίαστος τοῦ Παντουργοῦ, σὲ σοφία Πάτερ ἀνέδειξε, ὄργανον θεῖον, μελιφθόγγως ἐνηχοῦν, τῶν μυστηρίων ὅσιε, τῶν ὑπερφυῶν τὰ ἀπόρρητα.

Θησαυρὸν ἀκένωτόν σου τὰς φωνάς, τὰς ἐνθέους ἔγνωμεν πάνσοφε, οἱ ἐντρυφῶντες,

διὸ σοὶ τὰ ἐκ τῶν σῶν, προσφέρομεν
ἐφύμνια, Πάτερ μοναζόντων ἀγλάϊσμα.

Ἰωάννου ἅπασαι τῶν εὐσεβῶν, αἱ χορεῖαι
δεῦτε ἐν ᾄσμασι, καὶ πανευήχοις, ἐν ᾠδαῖς
χαρμονικῶς, τοῦ τῆς Δαμασκοῦ μέλψωμεν,
μνήμην τὴν φαιδρὰν αὐτοῦ σήμερον.

*Θεοτοκίον.*
Ἀρχαγγέλου ἄσπιλε τοῦ Γαβριήλ, τὴν φωνὴν
τὴν κοσμοχαρμόσυνον, ἐνωτισθεῖσα, τοῦ
Πατρὸς ἐν τῇ γαστρί, συνέλαβες
Πανάχραντε, Λόγον εἰς τὸ σῶσαι τὸν
ἄνθρωπον.

*Ὠιδὴ Ε' Ἐξέστη τὰ σύμπαντα.*
Κοπεῖσαν ἰάσατο, τὴν δεξιάν σου ὅσιε, χεῖρα
ἡ Παντάνασσα Παρθένος, αὕτη γὰρ ὄντως,
τὸν θηριώνυμον, ἄνακτα ἐξήλεγξε σφοδρῶς,
καὶ δεινῶς κατεβρόντησε, τὴν αὐτοῦ
φρενοβλάβειαν.

Λειμῶνας ἀπήνθησας, τῶν ἱερῶν θεσπέσιε,
λόγων καὶ τὸν φάρυγγα ἡδύνον, τῶν
εὐσεβούντων μέλι παρέδωκας, Πάτερ
Ἰωάννη καὶ σαφῶς, τοῦ Θεοῦ ἐτράνωσας, τὰ
ἀπόρρητα πάνσοφε.

Μανίαν θρασύστομον, μακάριε ἀπήμβλυνας,
τῶν ἐκλυττησάντων παναθέσμως, κατὰ τῶν
θείων ἐκτυπωμάτων Χριστοῦ, τοῦ

Παμβασιλέως καὶ Θεοῦ, καὶ ἁγίων πάντων τε, καὶ Ἁγνῆς τῆς Θεόπαιδος.

*Θεοτοκίον.*

Ῥητόρων φθεγξάτωσαν, τῶν θεοπνεύστων ἅπασαι, γλῶσσαι ἀγαθὴ τὰ μεγαλεῖα, ἅ σοι ἐποίησεν ὁ Θεὸς ἡμῶν, σῶσαι γὰρ τὴν φύσιν βουληθείς, Κόρην τὴν ἀνθρώπινον, διὰ σοῦ ἐνηνθρώπησεν.

*Ὠιδὴ ΣΤ΄ Τὴν θείαν ταύτην.*

Νυγεὶς τῷ θείῳ ἀοίδιμε, Χριστοῦ τοῦ Παντοκράτορος ἔρωτι, τῆς ματαιότητος, πομπὴν θεόφρον κατέλιπες, καὶ τούτῳ Ἰωάννη κατηκολούθησας.

Ξηρὰν εἰς ἔρημον ᾤκησας, Μονῇ τοῦ θεομάκαρος ὅσιε, Σάββα καὶ ἤνυσας, τὸν τῆς ἀσκήσεως δίαυλον, δαιμόνων τὰ στρατεύματα τροπωσάμενος.

Οὐσίᾳ φύσει Θεότητι, μιᾷ καὶ Βασιλείᾳ θεόπνευστε, ἐθεολόγησας, Πατέρα Λόγον σὺν Πνεύματι, τὸ τῆς Τριάδος Πάτερ μέγα μυστήριον.

*Θεοτοκίον.*

Ἰῷ τοῦ δράκοντος πάλαι με, Ἁγνὴ θανατωθέντα ἐζώωσας, ἐν τῇ νηδύϊ σου, τὸν ἰατρὸν σωματώσασα, παρθενικῶν αἱμάτων ἐκ σῶν Θεόνυμφε.

*Ὠιδὴ Ζ΄ Οὐκ ἐλάτρευσαν.*

Πᾶσαν ἔφλεξας, πυρὶ τῶν θείων λόγων σου, μονοθελήσεως, τὴν ἀκανθώδη σοφέ, παράνοιαν ὅθεν σε, Χριστὸς ἠμείψατο, ᾧ κραυγάζομεν, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητός εἶ.

Ῥήτωρ ἔνθεος, ἐδείχθης ἱερώτατε, ἀνόμων στόματα, ἐπιστομίζων σαφῶς, δυνάμει τῆς χάριτος, τῆς ἐνοικούσης σοι, γνωριζόμενον, διττὸν ἐν ταῖς θελήσεσι, καὶ ταῖς φύσεσι τὸν Λόγον.

Συνεξέλαμψε, σοι ὅσιε τοῦ Πνεύματος, μοῦσα ἡ ἔνθεος, ὁ θεηγόρος Κοσμᾶς. κοσμήσαντες πάνσοφοι, τὴν Ἐκκλησίαν Χριστοῦ, ὑμῶν ᾄσμασι, καὶ θείοις μελωδήμασι, καὶ ᾠδαῖς παναρμονίοις.

*Θεοτοκίον.*

Ὡς Βασίλισσαν, γινώσκοντες Πανάχραντε, συμπάσης κτίσεως, καὶ γὰρ ἐκ σοῦ τοῦ Πατρός, ὁ Λόγος σεσάρκωται, σῶσαι τὸν ἄνθρωπον, ἡμῶν ἅπασαν, τῆς σωτηρίας Δέσποινα, ἀνεθέμεθα ἐλπίδα.

*Ὠιδὴ Η΄ Παῖδας εὐαγεῖς.*

Τοῦ Παμβασιλέως νῦν τῷ θρόνῳ, χορείαις σὺν ἀσωμάτοις παριστάμενος, καὶ Ὁσίων τάγμασι, μέμνησο τρισόλβιε, τῶν ἀνυμνολογούντων σε, καὶ σοὶ βοώντων

πιστῶς, Ἰωάννη, θεοφόρε πρέσβευε, ὑπὲρ πάντων ἡμῶν, τῷ Χριστῷ καὶ Θεῷ.

Ὕψει ἐν σκηνώμασιν ἁγίων, κατέφθασας περιὼν ἔτι μακάριε, ἐν ὑλαίῳ σώματι, ἀσωμάτοις πνεύμασι, παλαίστραν ἐνστησάμενος, καὶ νικηφόρος ὀφθείς, τὰ βραβεῖα, παρὰ τοῦ Δεσπότου σου, ὄντως Πάτερ ἀξίως ἀπείληφας.

Φῶς τὸ ἐκ φωτὸς ἡ θεορρήμων, σοῦ γλῶσσα ὡς ἐπ' ἐσχάτων ἐδογμάτισε, σάρκα ἀνελάβετο, ἐν δυσὶ ταῖς φύσεσι, καὶ ἴσαις ταῖς θελήσεσι, καὶ προσκυνεῖσθαι αὐτοῦ, τὴν Εἰκόνα, Ἰωάννη ἔνδοξε, στόμα γλῶσσα καὶ νοῦς ἐπουράνια.

*Θεοτοκίον.*

Νόμων τῶν μητρώων Κόρη δίχα, τὸν ὄμβρον τὸν ἐπουράνιον συνέλαβες, καὶ ἀφθόρως Πάναγνε, τοῦτον ἀπεγέννησας, καὶ μετὰ τόκον ἄφθορος, Παρθένος ἔμεινας, Θεομῆτορ, ὅθεν σὲ δοξάζομεν, εἰς αἰῶνας αἰώνων οἱ δοῦλοί σου.

*Ὠιδὴ Θ΄ Ἅπας γηγενής.*

Χαίροις παρ' ἡμῶν, Χριστοῦ δοῦλε γνήσιε, ἀειμακάριστε, καὶ τρισολβιώτατε, τῆς Ἐκκλησίας πύργος ὁ ἄσειστος, τῆς εὐσεβείας πρόμαχε, τῶν ὑμνολόγων τερπνή, Ἰωάννη,

ἀηδὼν ἡδύφθογγος, καὶ πιστῶν ὀρθοδόξων ἑδραίωμα.

Ψάλλειν σοι χαρᾷ, ὑμνεῖν καὶ γεραίρειν σε, θέμις μακάριε, τῷ μελισταγεῖ καὶ τερπνῷ, ἱεροψάλτῃ τῷ μελωδήσαντι, ἐναρμονίοις ᾄσμασι, μέγα μυστήριον, τοῦ Δεσπότου, τῆς συγκαταβάσεως, καθ' ἡμᾶς τῇ μορφῇ ὡς ηὐδόκησε.

Ὥσπερ τηλαυγής, τῷ κόσμῳ ἐξέπεμψας ἀστὴρ θεόπνευστε, Ἰωάννη πάνσοφε, τὰς λαμπηδόνας τῶν θείων λόγων σου, ἐν Πνεύματι φθεγγόμενος, Θεὸν προσώποις τρισί, καὶ Μονάδα, φύσει γνωριζόμενον, καὶ οὐσίᾳ βουλῇ καὶ Θεότητι.

*Θεοτοκίον.*
Μέτοχοι τῶν σῶν, χαρίτων γεγόναμεν, οἱ ἐν τῷ Ὄρει σου, διεκπεραιούμενοι, τὸν βίον πάντες Θεοχαρίτωτε, καὶ τῷ Υἱῷ σου πρέσβευε, ἡμᾶς ἐλέους τυχεῖν, ἐν τῇ κρίσει, ὡς τοῖς πρὶν ἐξήγγειλας, ἐνταυθοῖ τῇ ἀσκήσει ἐκλάμψαντας.

*Προσόμοια.*
*Ὡς γενναῖον ἐν μάρτυσι. Ἦχος δ'.*
Τῆς Ἑώας ἐξέλαμψας, ὡς ἀστὴρ παμφαέστατος, καταυγάζων ἅπαντας, χαριτώνυμε, τῶν ἀρετῶν σου λαμπρότησι, ὁσίων ὁμότροπε, εὐσεβούντων παιδευτά, θεολόγων ἐφάμιλλε, ἰσοστάσιε, θεοφόρων

www.tezaurliturgic.ro



καὶ πάντων τῶν ἁγίων, τὸν Χριστὸν μὴ διαλείπης, ὑπὲρ ἡμῶν ἱλεούμενος.

Μονοθέλητον ἄνοιαν, συνονθύλευμα ἄθεσμον, καὶ ληρώδη σύγχυσιν, τὴν τῶν φύσεων, τὴν ἐναγῆ, ἀρειάνειον, δυσσέβειαν ἅπαντά τε συλλήβδην τὸν ἑσμόν, γλωσσαλγούντων θεόπνευστε, κατεβρόντησας, τοῖς ἐνθέοις σου λόγοις Ἰωάννη, καὶ καπνὸν ὡσεὶ τὰς τούτων, ἐρεσχελείας διέλυσας.

Ἐν ἀσκήσει διέλαμψας, περιὼν ἔτι ὅσιε, ἐνταυθοῖ καὶ θαύμασι, σὲ ἐδόξασε, Χριστὸς δι΄ ὃν καὶ  ἠγώνισαι, καὶ γὰρ ἐκκοπείσης σου, παναθέσμως τῆς χειρός, ἡ Παρθένος Παντάνασσα, σὲ ἠμείψατο, ἐμφανείᾳ αὐτῆς καὶ τῇ ἰάσει, μεθ΄ ἧς πρέσβευε δοθῆναι, τῷ Ἰησοῦ ἡμῖν ἔλεος.

Γαβριὴλ Παναμώμητε, ἀσπασμόν σοι ἐφθέγξατο, Κόρη ὁ Ἀρχάγγελος, τὸν οὐράνιον, Χαῖρε Ἀγγέλων τὸ ἤδυσμα, ἀνθρώπων τὸ καύχημα, Ἀποστόλων χαρμονή, Προφητῶν τὸ προάγγελμα, καὶ ἑδραίωμα, τῶν Μαρτύρων καὶ τῶν Ὁσίων δόξα, καὶ ἡμῶν τῶν σὲ ἐν πίστει, ὑμνούντων Χαῖρε διάσωσμα.